Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: dlg-aa

*Πρόξενος ὁ Βοιωτός* · Proxenus of Boeotia

# Epeirotica: Oracles and Myths

## *Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἰωνική* Ionic
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

t2-5 ΗΠΕΙΡΩΤΙΚΑ. Schol.

2 vulg. Hom. Odyss. ξ, 327: Ποιμὴν νέμων πρόβατα ἐν τοῖς τῆς Δωδώνης ἕλεσι τοῦ πέλας ὑφείλατο νομὴν καλλίστην, καὶ εἵρξας εἰς τὴν σφετέραν αὐλὴν ἐφύλασσεν. Ὅθεν τὸν δεσπότην φασὶ ζητεῖν παρὰ τοῖς ποιμέσι τὰ κεκλεμμένα πρόβατα, μὴ εὑρόντα δὲ ἐρωτᾶν τὸν θεὸν τίς ἐστιν ὁ κλέψας. Τότε πρῶτον, φασὶ, τὴν δρῦν φωνὴν ἀφεῖναι, ὅτι τῶν ἀκολουθούντων ὁ νεώτατος. Ἐξετάσαντα δὲ τὸ λόγιον εὑρεῖν παρὰ τῷ ποιμένι νεωστὶ βοσκήσαντι ἐν τῷ χωρίῳ· ἀκόλουθοι δὲ λέγονται οἱ ποίμενες. Ἦν δὲ τὸ ὄνομα Μαρδύλας ὁ κλέψας. Τοῦτον λέγεται προσοργισθέντα τῇ δρυῒ θελῆσαι αὐτὴν ἐκκόψαι νύκτωρ· πελειάδα δὲ ἐκ τοῦ στελέχους ἀνακύψασαν ἐπιτάξαι μὴ τοῦτο δρᾶν· τὸν δὲ δειματωθέντα μηκέτι τοῦτο τολμῆσαι, μὴ θιγεῖν τοῦ ἱεροῦ τούτου δένδρου. Οὐ μὴν ἀλλὰ καὶ διὰ τὸ τόλμημα μηνίσαι αὐτῷ τοὺς Ἠπειρώτας· ὅθεν καὶ λαβόντας δίκην ταύτην εἰσπράξασθαι τῆς ἀπ᾽ αὐτοῦ ὑπομενῆς τὸν μάντιν προάγει. Ἡ ἱστορία παρὰ τῷ Προξένῳ. Schol.

3 Hom. Odyss. α, 259 [παρ᾽ Ἴλου] Τινὲς Ἴρου γράφουσι ... Καὶ Πρόξενος ἐν Ἠπειρωτικοῖς Ἶρόν φησι Μερμέρου παῖδα. Steph.

4 Byz.: Χαονία, μέση τῆς Ἠπείρου. Οἱ οἰκήτορες Χάονες. Ἑλλάνικος Ἱερειῶν Ἥρας τρίτῳ· «Ἀμβρακιῶται καὶ οἱ μετ᾽ αὐτῶν Χάονες καὶ Ἠπειρῶται.» Καὶ ὁ Πρόξενος δὲ καταλέγων αὐτούς φησι· «Χάονες, Θεσπρωτοί, Τυμφαῖοι, Παραύαιοι, Ἀμύμονες, Ἄβαντες, Κασωποί.» Schol.

5 Apoll. Rh. I, 97: Ἄλκωνα τὸν Φαλήρου πατέρα Πρόξενος φησὶν υἱὸν Ἐρεχθέως. Φυγεῖν δ᾽ αὐτὸν λέγει ἀπὸ τῆς Ἀττικῆς μετὰ τῆς θυγατρὸς Χαλκιόπης εἰς Εὔβοιαν· ἐξαιτοῦντος δὲ τοῦ πατρὸς οὐκ ἐκδοῦναι τοὺς Χαλκιδέας. ΠΕΡΙ ΠΟΡΘΜΩΝ ΣΙΚΕΔΙΚΩΝ.

### E LIBRO PRIMO . Stephan.

7 Byz.: Γέλα, πόλις Σικελίας .... καλεῖται δὲ ἀπὸ τοῦ ποταμοῦ Γέλα· ὁ δὲ ποταμὸς, ὅτι πολλὴν πάχνην γεννᾷ· ταύτην γὰρ τῇ Ὀπικῶν φωνῇ καὶ Σικελῶν γέλαν λέγεσθαι. Πρόξενος δ᾽ ἐν πρώτῃ τῶν Περὶ πόρθμων Σικελικῶν καὶ Ἑλλάνικος ἀπὸ Γέλωνος, τοῦ Αἴτνης καὶ Ὑμάρου. ΛΑΚΩΝΙΚΗ ΠΟΛΙΤΕΙΑ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**E LIBRO SECUNDO. Athenaeus VI: Πρόξενος δ’ ἐν δευτέρῳ Λακωνικῆς πολιτείας ἐπικαλεῖσθαί φησι χαλκίδας παρὰ Λακεδαιμονίοις τὰς θεραπαίνας.**

Eulogikon public reading copy · View original HTML at eulogikon.org